καιροῦ μέτρα εἰδέναι· σοφίης γὰρ οὗτος ὅρος. οἳ δὲ ἔξω καιροῦ ῥῆσιν ἀείδουσιν, κῆν πεπνυμένην ἀείδωσιν, οὐ τιθέμενοι ἐν σοφίηι γνώμην αἰτίην ἔχουσι μωρίης.

2. Ael. V. Hist. iv 14 (vgl. 59 B 24) καὶ 'Ανάξαρχος ἐν τῶι Περὶ βασιλείας φησὶ χαλεπὸν χρήματα συναγείρασθαι, χαλεπώτερον δὲ φυλακὴν τούτοις περιθεῖναι.

# 73 [60]. HEKATAIOS VON ABDERA

## A. LEBEN UND LEHRE

1. Suid. [aus Hesych.] Ἑκαταῖος 'Αβδηρίτης φιλόσοφος, ὃς ἐπεκλήθη καὶ κριτικὸς γραμματικός, οἷα γραμματικὴν ἔχων παρασκευήν. γέγονε δ' ἐπὶ τῶν διαδόχων. βιβλία αὐτοῦ ταῦτα· Περὶ τῆς ποιήσεως Ὁμήρου καὶ Ἡσιόδου ⟨. . . Vgl. B 15.

2. Strab. xiv p. 644 Τήιοι τὴν πόλιν ἐκλιπόντες εἰς "Αβδηρα ἀπώικησαν Θραικίαν πόλιν οὐ φέροντες τὴν τῶν Περσῶν ὕβριν ... πάλιν δ' ἐπανῆλθόν τινες αὐτῶν χρόνωι ὕστερον. εἴρηται δὲ καὶ περὶ 'Απελλικῶντος ὅτι Τήιος ἦν κἀκεῖνος· γέγονε δὲ καὶ συγγραφεὺς Ἑκαταῖος ἐκ τῆς αὐτῆς πόλεως. Scymn. q. d. perieg. 869 ὡς Ἑκαταῖος εἶφ' ὁ Τήιος [über d. Tanais].

3. Diog. ix 69 πρὸς τούτοις [Eurylochos, Philon] διήκουε τοῦ Πύρρωνος Ἑ. τε ὁ 'Αβδηρίτης καὶ Τίμων ὁ Φλιάσιος.

4. [fr. 20 Müller FHG ii 396] Clem. Str. ii 130 [ii 184, 14 St.; s. ii 133, 11] Ἑ. δὲ αὐτάρκειαν [nämlich τέλος ὑπάρχειν; vgl. 68 B 246].

5. [fr. 21 M.] Plut. Quaest. conv. iv 3, 1 p. 666 E τῶν νομοθετῶν τοὺς τῆι πολυτελείαι κατὰ κράτος πολεμήσαντας ὁρίσαι μάλιστα τῶν εἰς τοὺς γάμους καλουμένων τὸ πλῆθος. 'ὁ γὰρ εἰπών, ἔφη [Sossios], περὶ τῆς αἰτίας αὐτῆς τῶν παλαιῶν φιλοσόφων οὐδὲν ἐμοὶ γοῦν κριτῆι πιθανὸν εἴρηκεν Ἑ. ὁ 'Αβδηρίτης· λέγει δὲ τοὺς ἀγομένους γυναῖκας πολλοὺς παρακαλεῖν ἐπὶ τὴν ἑστίασιν, ἵνα πολλοὶ συνειδῶσι καὶ μαρτυρῶσιν ἐλευθέροις οὖσι καὶ παρ' ἐλευθέρων γαμοῦσι.

---

Die freilich, welche außerhalb der passenden Zeit ihren Spruch absingen, mag er auch *an sich* verständig sein, erhalten den Vorwurf der Torheit, da sie in der Weisheit nicht Klugheit mitverwenden.

2. *Schwer sei es Geld zu sammeln, schwerer es zu hüten.*

---

1 οἱ δὲ (oder εἰ δὲ οἱ) Stob.: ὅσοι δὲ Clem. 1f. Lesart Stob.s s. ii 239, 25f. (ἀείσωσιν S: ἀάσουσιν M) καὶ θύρησιν ἀείδουσιν κ'ην πη πεπνυμένην ἀείδωσιν Clem. (L) 2 οὐ τιθέμενοι (τίθεμεν Wilamowitz) ἐν σοφίῃ, γνώμην δ' ἔχουσι μωρίης Clem.: Lesart Stob.s s. ii 239, 26f. (ἐναργίηι Buecheler) 3 *da sie nicht auf Weisheit den Sinn richten* (vgl. Soph. Phil. 1448) Friedländer 4 'Ανάξαρχος Wilamowitz: 'Αναξαγόρας Hss. 17 ὁ Τήιος Roeper (über einige Schriftsteller mit Namen Hekataeos I II Danzig 1877, 78): οτιειο Hss. Vgl. F. Jacoby *Pauly-Wiss. R.-E.* vii 2750f. 25 ἀβαρρίτης Hs.: verb. Xylander

6. Plut. Lyc. 20 [= Apophth. Lac. 218 b] Ἀρχιδαμίδας δὲ μεμφομένων τινῶν Ἑκαταῖον τὸν σοφιστήν, ὅτι παραληφθεὶς εἰς τὸ συσσίτιον οὐδὲν ἔλεγεν· 'ὁ εἰδώς, ἔφη, λόγον καὶ καιρὸν οἶδεν'.

---

## B. FRAGMENTE

### ΕΚΑΤΑΙΟΥ ΠΕΡΙ ΥΠΕΡΒΟΡΕΩΝ

1 [5 M.]. Steph. Byz. Ἐλίξοια νῆσος Ὑπερβορέων οὐκ ἐλάσσων Σικελίας ὑπὲρ ποταμοῦ Καραμβύκα. οἱ νησιῶται Καραμβῦκαι ἀπὸ τοῦ ποταμοῦ, ὡς Ἑ. ὁ Ἀβδηρίτης [vgl. s. v. Καραμβῦκαι]. [6] Strab. vii 299 τὴν παρὰ Θεοπόμπωι [FGrHist. 115 F 75 ii 552] Μεροπίδα γῆν, παρ' Ἑκαταίωι δὲ Κιμμερίδα πόλιν.

2 [6a]. Plin. N. H. vi 55 *de his* [näml. Attacori] *privatim condidit volumen Amometus, sicut H. de Hyperboreis.* iv 94 *septentrionalis oceanus: Amalchium eum H. appellat a Parapaniso amne qua Scythiam adluit, quod nomen eius gentis lingua significat 'congelatum'* [= μάλκιος].

3 [4]. Ael. N. H. xi 1 ἀνθρώπων Ὑπερβορέων γένος καὶ τιμὰς Ἀπόλλωνος τὰς ἐκεῖθι ἄιδουσι μὲν ποιηταί, ὑμνοῦσι δὲ καὶ συγγραφεῖς, ἐν δὲ τοῖς καὶ Ἑ. ὁ Μιλήσιος οὔ, ἀλλ' ὁ Ἀβδηρίτης. Gottesdienst der Boreaden. Apollons Schwäne. Vgl. B 5.

4 [1]. Schol. Apoll. ii 675 Ἑ. δὲ μέχρι τῶν αὐτοῦ χρόνων εἶναί φησι τὸ τῶν Ὑπερβορέων ἔθνος. ἔστι δὲ αὐτῶι βιβλία ἐπιγραφόμενα Περὶ Ὑπερβορέων. τιμᾶται δὲ παρὰ τοῖς Ὑπερβορέοις ὁ Ἀπόλλων· διὸ καὶ ἐκεῖσε χωρῶν ὤφθη. τρία δὲ ἔθνη τῶν Ὑπερβορέων ⟨...⟩, Ἐπιζεφύριοι καὶ Ἐπικνημίδιοι καὶ Ὀζόλαι.

5 [2]. Diodor. ii 47, 1 ff. τῶν γὰρ τὰς παλαιὰς μυθολογίας ἀναγεγραφότων Ἑ. καί τινες ἕτεροί φασιν ἐν τοῖς ἀντιπέρας τῆς Κελτικῆς τόποις κατὰ τὸν ὠκεανὸν εἶναι νῆσον οὐκ ἐλάττω τῆς Σικελίας. ταύτην ὑπάρχειν μὲν κατὰ τὰς ἄρκτους, κατοικεῖσθαι δὲ ὑπὸ τῶν ὀνομαζομένων Ὑπερβορέων ἀπὸ τοῦ πορρωτέρω κεῖσθαι τῆς βορείου πνοῆς· οὖσαν δ' αὐτὴν εὔγειόν τε καὶ πάμφορον, ἔτι δ' εὐκρασίαι διαφέρουσαν, διττοὺς κατ' ἔτος ἐκφέρειν καρπούς. 2—4 Apollocult. Abaris. (5) φασὶ δὲ καὶ τὴν σελήνην ἐκ ταύτης τῆς νήσου φαίνεσθαι παντελῶς ὀλίγον ἀπέχουσαν τῆς γῆς καί τινας ἐξοχὰς γεώδεις ἔχουσαν ἐν αὐτῆι φανεράς. (6) λέγεται δὲ καὶ τὸν θεὸν δι' ἐτῶν ιθ καταντᾶν εἰς τὴν νῆσον, ἐν οἷς αἱ τῶν ἄστρων ἀποκαταστάσεις ἐπὶ τέλος ἄγονται· καὶ διὰ τοῦτο τὸν ἐννεακαιδεκαετῆ χρόνον ὑπὸ τῶν Ἑλλήνων μέγαν ἐνιαυτὸν ὀνομάζεσθαι. (7) κατὰ δὲ τὴν ἐπιφάνειαν ταύτην τὸν θεὸν κιθαρίζειν τε καὶ χορεύειν συνεχῶς τὰς νύκτας ἀπὸ ἰσημερίας ἐαρινῆς ἕως πλειάδος ἀνατολῆς ἐπὶ τοῖς ἰδίοις εὐημερήμασι τερπόμενον. βασιλεύειν δὲ τῆς πόλεως ταύτης καὶ τοῦ τεμένους ἐπάρχειν τοὺς ὀνομαζομένους Βορεάδας ἀπογόνους ὄντας Βορέου καὶ κατὰ γένος ἀεὶ διαδέχεσθαι τὰς ἀρχάς.

---

1 aus 72 B 1 auf Hek. übertragen? 7 ὑπὲρ Meineke: ὑπὸ Hs. 20 Genealogievariante Schol. Pind. Ol. 3, 28 [3 Müll.] 21 ὁ Ἀπόλλων P: fehlt L 22 vgl. L. Weber *Rh. Mus.* 82 (1933) 187; ⟨ὡς καὶ τῶν Λοκρῶν⟩ Kranz 24 Κελτικῆς] vgl. Müllenhoff *D. Alt.* i 423 31 οἷς καὶ C 32 vgl. c. 41, 9 33 μέγαν C: Μέτωνος d. übr. Hss. 36 δὲ Dindorf: τε Hss.

## ΠΕΡΙ ΤΗΣ ΑΙΓΥΠΤΙΩΝ ΦΙΛΟΣΟΦΙΑΣ $\overline{A}\,\overline{B}$ [...?] (ΑΙΓΥΠΤΙΑΚΩΝ?)

6 [19. 7]. Diog. I 9—11 (9) ὃς [Theop. FGrHist. 115 F 64 II 547] καὶ ἀναβιώσεσθαι κατὰ τοὺς Μάγους φησὶ τοὺς ἀνθρώπους καὶ ἀθανάτους ἔσεσθαι, καὶ τὰ ὄντα ταῖς αὐτῶν περικυκλήσεσι διαμενεῖν. ταῦτα δὲ καὶ Εὔδημος ὁ Ῥόδιος [fr. 51 Sp.] ἱστορεῖ. Ἑκαταῖος δὲ καὶ γενητοὺς τοὺς θεοὺς εἶναι κατ' αὐτούς. Κλέαρχος δὲ ὁ Σολεὺς ἐν τῶι Περὶ παιδείας [fr. 28 FHG II 313] καὶ τοὺς Γυμνοσοφιστὰς ἀπογόνους εἶναι τῶν Μάγων φησίν· ἔνιοι δὲ καὶ τοὺς Ἰουδαίους ἐκ τούτων εἶναι. πρὸς τούτοις καταγινώσκουσιν Ἡροδότου οἱ τὰ περὶ Μάγων γράψαντες· μὴ γὰρ ἂν ἐς τὸν ἥλιον βέλη Ξέρξην ἀκοντίσαι, μηδ' εἰς τὴν θάλασσαν πέδας καθεῖναι, θεοὺς ὑπὸ τῶν Μάγων παραδεδομένους. τὰ μέντοι ἀγάλματα εἰκότως καθαιρεῖν. (10) τὴν δὲ τῶν Αἰγυπτίων φιλοσοφίαν εἶναι τοιαύτην περί τε θεῶν καὶ ὑπὲρ δικαιοσύνης. φάσκειν τε ἀρχὴν μὲν εἶναι τὴν ὕλην, εἶτα τὰ τέσσαρα στοιχεῖα ἐξ αὐτῆς διακριθῆναι, καὶ ζῶια παντοῖα ἀποτελεσθῆναι. θεοὺς δ' εἶναι ἥλιον καὶ σελήνην, τὸν μὲν Ὄσιριν, τὴν δ' Ἶσιν καλουμένην· αἰνίττεσθαί τε αὐτοὺς διά τε κανθάρου καὶ δράκοντος καὶ ἱέρακος καὶ ἄλλων, ὥς φησι Μανέθως ἐν τῆι τῶν Φυσικῶν ἐπιτομῆι καὶ Ἑ. ἐν τῆι πρώτηι Περὶ τῆς Αἰγυπτίων φιλοσοφίας. κατασκευάζειν δὲ ⟨καὶ⟩ ἀγάλματα καὶ τεμένη τῶι μὴ εἰδέναι τὴν τοῦ θεοῦ μορφήν. (11) τὸν κόσμον γενητὸν καὶ φθαρτὸν καὶ σφαιροειδῆ· τοὺς ἀστέρας πῦρ εἶναι, καὶ τῆι τούτων κράσει τὰ ἐπὶ γῆς γίγνεσθαι· σελήνην ἐκλείπειν εἰς τὸ σκίασμα τῆς γῆς ἐμπίπτουσαν· τὴν ψυχὴν καὶ ἐπιδιαμένειν καὶ μετεμβαίνειν· ὑετοὺς κατὰ ἀέρος τροπὴν ἀποτελεῖσθαι· τά τε ἄλλα φυσιολογεῖν, ὡς Ἑκαταῖός τε καὶ Ἀρισταγόρας ἱστοροῦσιν. ἔθεσαν δὲ καὶ νόμους ὑπὲρ δικαιοσύνης, οὓς εἰς Ἑρμῆν ἀνήνεγκαν· καὶ τὰ εὔχρηστα τῶν ζώιων θεοὺς ἐδόξασαν. λέγουσι δὲ καὶ ὡς αὐτοὶ γεωμετρίαν τε καὶ ἀστρολογίαν καὶ ἀριθμητικὴν ἀνεῦρον. καὶ τὰ μὲν περὶ τῆς εὑρέσεως ὧδε ἔχει.

7 [0]. Diodor. I 11, 1 ff. τοὺς δ' οὖν κατ' Αἴγυπτον ἀνθρώπους τὸ παλαιὸν γενομένους ἀναβλέψαντας εἰς τὸν κόσμον καὶ τὴν τῶν ὅλων φύσιν καταπλαγέντας τε καὶ θαυμάσαντας, ὑπολαβεῖν εἶναι δύο θεοὺς ἀιδίους τε καὶ πρώτους, τόν τε ἥλιον καὶ τὴν σελήνην, ὧν τὸν μὲν Ὄσιριν τὴν δὲ Ἶσιν ὀνομάσαι ... (5) τούτους δὲ τοὺς θεοὺς ὑφίστανται τὸν σύμπαντα κόσμον διοικεῖν τρέφοντάς τε καὶ αὔξοντας πάντα τριμερέσιν ὥραις ἀοράτωι κινήσει τὴν περίοδον ἀπαρτιζούσαις, τῆι τε ἐαρινῆι καὶ θερινῆι καὶ χειμερινῆι· ταύτας δ' ἐναντιωτάτην ἀλλήλαις τὴν φύσιν ἐχούσας ἀπαρτίζειν τὸν ἐνιαυτὸν ἀρίστηι συμφωνίαι· φύσιν δὲ συμβάλλεσθαι πλείστην εἰς τὴν τῶν ἁπάντων ζωιογονίαν τῶν θεῶν τούτων τὸν μὲν πυρώδους καὶ πνεύματος τὴν δὲ ὑγροῦ καὶ ξηροῦ, κοινῆι δ' ἀμφοτέρους ἀέρος· καὶ διὰ τούτων πάντα γεννᾶσθαι καὶ τρέφεσθαι. (6) διὸ καὶ τὸ μὲν ἅπαν σῶμα τῆς τῶν

---

1 Über die Tendenz der Aigyptiaka s. E. Schwartz *Rhein. Mus.* 40 (1885) 223  4 ἔσεσθαι ἀθανάτους stellen die Ausgg.  τῶι ὄντι? Diels  5 ταῖς αὐτῶν περικυκλήσεσι Diels: ταῖς αὐτῶν ἐπικλήσεσι Hss.  9 πρὸς τούτοις καταγινώσκουσιν BP: καταγινώσκουσιν δὲ (nach der Interpol. von Φ) F[1]  τὰ fehlt F[1]Φ  11 παραδιδομένους B  14 παντοῖα Cobet: τινα Hss.  17 τῆς τῶν F  18 ⟨καὶ⟩ Cobet  23 ἑρμηνείαν ἤνεγκαν B  25 ἀνευρόντες B  27 Die Einleitung Diodors I 7—9, die auch aus den Aigyptiaka des Hekataios entlehnt ist (vgl. K. Reinhardt *Herm.* 47, 1912, 497 ff.) s. 68 B 5

ὅλων φύσεως ἐξ ἡλίου καὶ σελήνης ἀπαρτίζεσθαι, τὰ δὲ τούτων μέρη πέντε τὰ προειρημένα, τό τε πνεῦμα καὶ τὸ πῦρ καὶ τὸ ξηρόν, ἔτι δὲ τὸ ὑγρὸν καὶ τὸ τελευταῖον τὸ ἀερῶδες, ὥσπερ ἐπ' ἀνθρώπου κεφαλὴν καὶ χεῖρας καὶ πόδας καὶ τἆλλα μέρη καταριθμοῦμεν, τὸν αὐτὸν τρόπον τὸ σῶμα τοῦ κόσμου συγκεῖσθαι πᾶν ἐκ τῶν προειρημένων. c. 12, 1 τούτων δ' ἕκαστον θεὸν νομίσαι καὶ προσηγορίαν ἰδίαν ἑκάστωι θεῖναι κατὰ τὸ οἰκεῖον τοὺς πρώτους διαλέκτωι χρησαμένους διηρθρωμένηι τῶν κατ' Αἴγυπτον ἀνθρώπων. (2) τὸ μὲν οὖν πνεῦμα Δία προσαγορεῦσαι ... (3) τὸ δὲ πῦρ μεθερμηνευόμενον Ἥφαιστον ὀνομάσαι νομίσαντας μέγαν εἶναι θεὸν καὶ πολλὰ συμβάλλεσθαι πᾶσιν εἰς γένεσίν τε καὶ τελείαν αὔξησιν. (4) τὴν δὲ γῆν ὥσπερ ἀγγεῖόν τι τῶν φυομένων ὑπολαμβάνοντας μητέρα προσαγορεῦσαι ... (5) τὸ δ' ὑγρὸν ὀνομάσαι λέγουσι τοὺς παλαιοὺς Ὠκεάνην, ὃ μεθερμηνευόμενον μὲν εἶναι τροφὴν ⟨ἢ⟩ μητέρα ... (7) τὸν δ' ἀέρα προσαγορεῦσαί φασιν Ἀθηνᾶν μεθερμηνευομένης τῆς λέξεως ... (9) φασὶ δὲ τοὺς πέντε θεοὺς τοὺς προειρημένους πᾶσαν τὴν οἰκουμένην ἐπιπορεύεσθαι φανταζομένους τοῖς ἀνθρώποις ἐν ἱερῶν ζώιων μορφαῖς, ἔστι δ' ὅτε εἰς ἀνθρώπων ἰδέας ἤ τινων ἄλλων μεταβάλλοντας ... c. 13, 1 ἄλλους δὲ ἐκ τούτων ἐπιγείους γενέσθαι φασίν, ὑπάρξαντας μὲν θνητούς, διὰ δὲ σύνεσιν καὶ κοινὴν ἀνθρώπων εὐεργεσίαν τετευχότας τῆς ἀθανασίας, ὧν ἐνίους καὶ βασιλεῖς γεγονέναι κατὰ τὴν Αἴγυπτον. (2) μεθερμηνευομένων δ' αὐτῶν τινὰς μὲν ὁμωνύμους ὑπάρχειν τοῖς οὐρανίοις, τινὰς δ' ἰδίαν ἐσχηκέναι προσηγορίαν Ἥλιόν τε καὶ Κρόνον καὶ Ῥέαν ἔτι δὲ Δία τὸν ὑπό τινων Ἄμμωνα προσαγορευόμενον, πρὸς δὲ τούτοις Ἥραν καὶ Ἥφαιστον, ἔτι δ' Ἑστίαν καὶ τελευταῖον Ἑρμῆν. καὶ πρῶτον μὲν Ἥλιον βασιλεῦσαι τῶν κατ' Αἴγυπτον ὁμώνυμον ὄντα τῶι κατ' οὐρανὸν ἄστρωι. (3) ἔνιοι δὲ τῶν ἱερέων φασὶ πρῶτον Ἥφαιστον βασιλεῦσαι πυρὸς εὑρετὴν γενόμενον ... (4) μετὰ δὲ ταῦτα τὸν Κρόνον ἄρξαι καὶ γήμαντα τὴν ἀδελφὴν Ῥέαν γεννῆσαι κατὰ μέν τινας τῶν μυθολόγων Ὄσιριν καὶ Ἶσιν, κατὰ δὲ τοὺς πλείστους Δία τε καὶ Ἥραν, οὓς δι' ἀρετὴν βασιλεῦσαι τοῦ σύμπαντος κόσμου κτλ. Die Theologumena gehen bis c. 27 (außer 15, 6—8. 17—20, 6). Es folgt Geographisches 30—41 (mit Fremdem), Königsgeschichte 43—68, Philosophie (πολιτεία) 69—98.

8 [9]. Plut. de Is. et Os. 9 p. 354 cd τῶν πολλῶν νομιζόντων ἴδιον παρ' Αἰγυπτίοις ὄνομα τοῦ Διὸς εἶναι τὸν Ἀμοῦν ... Ἑ. δ' ὁ Ἀβδηρίτης φησὶ τούτωι καὶ πρὸς ἀλλήλους τῶι ῥήματι χρῆσθαι τοὺς Αἰγυπτίους, ὅταν τινὰ προσκαλῶνται· προσκλητικὴν γὰρ εἶναι τὴν φωνήν. διὸ τὸν πρῶτον θεόν, ⟨ὃν⟩ τῶι παντὶ τὸν αὐτὸν νομίζουσιν, ὡς ἀφανῆ καὶ κεκρυμμένον ὄντα προσκαλούμενοι καὶ παρακαλοῦντες ἐμφανῆ γενέσθαι καὶ δῆλον αὐτοῖς, Ἀμοῦν λέγουσιν.

9 [8]. Aët. ii 20, 16 (D. 351) Ἡράκλειτος [22 A 12] καὶ Ἑ. ἄναμμα νοερὸν τὸ ἐκ θαλάττης εἶναι τὸν ἥλιον.

10 [0]. Diodor. i 45, 2 (Menas führte den Luxus ein) διὸ καὶ πολλαῖς ὕστερον γενεαῖς βασιλεύοντα Τνέφαχθον [Τέχνακτις Plut. de Is. 8, der wohl aus Hekat. dieselbe Gesch. erzählt) τὸν Βοκχόριδος τοῦ σοφοῦ πατέρα λέγουσιν εἰς τὴν Ἀραβίαν στρατεύσαντα, τῶν ἐπιτηδείων αὐτὸν διά τε τὴν ἐρημίαν καὶ τὰς

---

2 ἔτι δὲ] vgl. Z. 20 12 Ὠκεάνην Wesseling (vgl. Diod. a. O. 19, 4): ὠκεανόν CD: ὠκέλμην F ⟨⟩ Kranz 34 ⟨⟩ Bentley 37 Die Ansicht konnte bei der Erörterung der Nilschwelle geäußert sein. Vgl. Herod. ii 25. Vgl. auch oben Z. 11 ἄναλμα A: verb. Heeren νοερὸν] stoisch?

δυσχωρίας ἐκλιπόντων, ἀναγκασθῆναι μίαν ἡμέραν ἐνδεᾶ γενόμενον χρήσασθαι διαίτηι παντελῶς εὐτελεῖ παρά τισι τῶν τυχόντων ἰδιωτῶν, ἡσθέντα δὲ καθ' ὑπερβολὴν καταγνῶναι τῆς τρυφῆς καὶ τῶι καταδείξαντι τὴν πολυτέλειαν ἐξ ἀρχῆς βασιλεῖ καταρᾶσθαι· οὕτω δ' ἐγκάρδιον αὐτῶι τὴν μεταβολὴν γενέσθαι τὴν περὶ τὴν βρῶσιν καὶ πόσιν καὶ κοίτην, ὥστε τὴν κατάραν ἀναγράψαι τοῖς ἱεροῖς γράμμασιν εἰς τὸν τοῦ Διὸς ναὸν ἐν Θήβαις. Vgl. Athen. x p. 418e.

**11** [10]. Plut. de Is. 6 p. 353ab οἶνον δ' οἱ μὲν ἐν Ἡλίου πόλει θεραπεύοντες τὸν θεὸν οὐκ εἰσφέρουσι τὸ παράπαν εἰς τὸ ἱερόν, ὡς οὐ προσῆκον ὑπηρέτας πίνειν τοῦ κυρίου καὶ βασιλέως ἐφορῶντος [nämlich Ἡλίου]· οἱ δ' ἄλλοι χρῶνται μέν, ὀλίγωι δέ. πολλὰς δ' ἀοίνους ἁγνείας ἔχουσιν, ἐν αἷς φιλοσοφοῦντες καὶ μανθάνοντες καὶ διδάσκοντες τὰ θεῖα διατελοῦσιν. οἱ δὲ βασιλεῖς καὶ μετρητὸν ἔπινον ἐκ τῶν ἱερῶν γραμμάτων, ὡς Ἑ. ἱστόρηκεν, ἱερεῖς ὄντες. Vgl. Diod. i 70, 9ff.

**12** [12]. Diod. i 46, 8 οὐ μόνον δ' οἱ κατ' Αἴγυπτον ἱερεῖς ἐκ τῶν ἀναγραφῶν ἱστοροῦσιν [über die theban. Dynastie], ἀλλὰ καὶ πολλοὶ τῶν Ἑλλήνων τῶν παραβαλόντων μὲν εἰς τὰς Θήβας ἐπὶ Πτολεμαίου τοῦ Λάγου, συνταξαμένων δὲ τὰς Αἰγυπτιακὰς ἱστορίας, ὧν ἐστι καὶ Ἑ., συμφωνοῦσι τοῖς ὑφ' ἡμῶν εἰρημένοις. Vgl. ebd. c. 47—49.

**13** [13]. — xl 3, 8 [Exc. Phot. bibl. c. 244] Nach einem Abriß der jüdischen Geschichte, Gesetzgebung (Moses), Sitten: κατὰ δὲ τὰς ὕστερον γενομένας ἐπικρατείας ἐκ τῆς τῶν ἀλλοφύλων ἐπιμειξίας ἐπί τε τῆς τῶν Περσῶν ἡγεμονίας καὶ τῶν ταύτην καταλυσάντων Μακεδόνων πολλὰ τῶν πατρίων τοῖς Ἰουδαίοις νομίμων ἐκινήθη. Das meiste davon sei falsch, sagt Photius, Diodor verstecke aber seine Lügen hinter einem anderen: ἐπάγει γάρ· 'περὶ μὲν τῶν Ἰουδαίων Ἑκαταῖος ὁ Μιλήσιος [gemeint ist ὁ Ἀβδηρίτης] ταῦτα ἱστόρηκεν'.

**13a.** Steph. Byz. Διόσπολις ἡ μεγάλη πόλις τῆς Αἰγυπτίας Θηβαΐδος, ἡ λεγομένη ἑκατόμπυλος, κτίσμα Ὀσίριδος καὶ Ἴσιδος· πρὶν δὲ ὑπὸ Περσῶν ἀφανισθῆναι, φησὶν Ἑκαταῖος, ὅτι μυρίας τρισχιλίας κώμας εἶχε καὶ τριάκοντα, ἀνθρώπων δὲ μυριάδας ἑπτακοσίας, ἀρουρῶν δὲ τόπον μεμετρημένον τρισχιλίων καὶ ἑπτακοσίων, ἑκατὸν δὲ πύλας διακεκοσμημένας, τετρακόσια στάδια τὸ μῆκος. εἰσὶ δὲ καὶ ἄλλαι μικραὶ ἐν Αἰγύπτωι τέσσαρες ὧν ἐν τῆι μιᾶι τιθασεύουσι τοὺς κροκοδείλους ἐν ἄντροις καὶ φρέασι σέβοντες, μηδὲ τοῦ ποταμοῦ γευόμενοι, μηδ' εἰ σφόδρα φλέγοιντο. Porphyr. Quaest. hom. (zu I 383) i 138, 18 Schrad. νῦν δὲ Διόσπολις καλοῦνται αἱ τὸ παλαιὸν Θῆβαι, καί φασι δείκνυσθαι περὶ τὴν Διόσ-

---

7 Der Ath. a. O. u. 447c gen. Hekataios ist der Milesier [FGrHist. 1 F 323 i 41). Aber der dort aus Alexis [Alexinos ?] angeführte Bokchoris gehört hierher  10 ὑπηρ. Strijd: ἡμέρας ω  27 Ob Aristeas ad Philocr. Ep. 31 aus dem echten oder unechten [s. n. 15] Hek. geschöpft hat, ist kontrovers. Vgl. Geffcken *Zwei griech. Apolog.* S. xii; Jacoby FGrHist. Komment. zu 1 F 373  29 ἑκατόμπολις A: ἑκατόμπολος übr. Hss.: verb. Xylander  30 Ἑκαταῖος Heeren (vgl. Wilamowitz *Herm.* 33, 1898, 521): κάτων Hss.  μυρίας κτλ.] richtig ⟨τρισ⟩μυρίας τρισχιλίας ⟨τριακοσίας⟩ εἶχε Diels  32 πύλαι διακεκοσμημέναι Hss.: verb. Berkelius  34 μηδὲν τοῦ Kranz  35 Diels (erg. ὑπὸ δίψης vgl. Dion. Hal. Ant. ix 66): λέγοιντο Hss.

πολιν πολλῶν πυλῶν ἴχνη. ὡς δ' Ἑκαταῖος ἱστορεῖ, ἡ Διόσπολις ἡ μεγάλη πρὸ τοῦ ὑπὸ Περσῶν ἀφανισθῆναι κώμας μὲν εἶχε τρισμυρίας ,γ⟨τ⟩λ̄, ἀνθρώπων δὲ μυριάδας ψ̄, ἑκατὸν δὲ πύλαις διεκοσμεῖτο. ταύτην ἐτείχισε βασιλεὺς Ὄσιρις. τινὲς δέ φασι τῶν ἱερέων, ὅτι ρ̄ εἶχε πύλας, ἐξ ἑκάστης δὲ ὁπλῖται μύριοι, ψ̄ δὲ ἵπποι ἐξεστράτευον.

## GRAMMATISCHES

### ΠΕΡΙ ΤΗΣ ΠΟΙΗΣΕΩΣ ΟΜΗΡΟΥ ΚΑΙ ΗΣΙΟΔΟΥ

Vgl. B 5. Die Homerzitate in Diodors Excerpten I 12, 2. 5. 10 und 15, 7. In ein grammatisches Werk gehört

14 [0]. Erotian. p. 55, 7 Nachm. κυρβασίην· τὴν λεγομένην τιάραν. Ἑ. δέ φησιν, ὅτι πῖλον βαρβαρικὸν οἱ κωμικοὶ λέγουσι.

## FÄLSCHUNGEN

### ΠΕΡΙ ΤΩΝ ΙΟΥΔΑΙΩΝ (ΠΕΡΙ ΑΒΡΑΜΟΥ)

15 [14—18]. Ioseph. c. Ap. I 183 Ἑ. δὲ ὁ Ἀβδηρίτης ἀνὴρ φιλόσοφος ἅμα καὶ περὶ τὰς πράξεις ἱκανώτατος Ἀλεξάνδρωι τῶι βασιλεῖ συνακμάσας καὶ Πτολεμαίωι τῶι Λάγου συγγενόμενος οὐ παρέργως, ἀλλὰ περὶ αὐτῶν Ἰουδαίων συγγέγραφε βιβλίον. Folgen Excerpte 184—204; I 214 Ἑ. μὲν καὶ βιβλίον ἔγραψεν περὶ ἡμῶν. Ebensolche II 43ff. Antiq. Iud. XII 38 [hier aus Aristeas Ep. 31]. Monographie oder Sondertitel eines Kapitels über Abraham Ant. I 158. 159 μνημονεύει δὲ τοῦ πατρὸς ἡμῶν Ἀβράμου Βηρωσός ... Ἑ. δὲ καὶ τοῦ μνησθῆναι πλεῖόν τι πεποίηκε· βιβλίον γὰρ περὶ αὐτοῦ συνταξάμενος κατέλιπε. Vgl. Clem. Strom. V [II 402, 20 St.] ὁ μὲν Σοφοκλῆς, ὥς φησιν Ἑ. ὁ τὰς ἱστορίας συνταξάμενος ἐν τῶι κατ' Ἄβραμον καὶ τοὺς Αἰγυπτίους....

16 [p. 385a]. Orig. c. Cels. I 15 καὶ Ἑκαταίου δὲ τοῦ ἱστορικοῦ φέρεται Περὶ Ἰουδαίων βιβλίον, ἐν ὧι προστίθεται μᾶλλόν πως ὡς σοφῶι τῶι ἔθνει ἐπὶ τοσοῦτον, ὡς καὶ Ἑρέννιον Φίλωνα ἐν τῶι Περὶ Ἰουδαίων συγγράμματι πρῶτον μὲν ἀμφιβάλλειν, εἰ τοῦ ἱστορικοῦ ἐστι τὸ σύγγραμμα, δεύτερον δὲ λέγειν ὅτι, εἴπερ ἔστιν αὐτοῦ, εἰκὸς αὐτὸν συνηρπάσθαι ἀπὸ τῆς παρὰ Ἰουδαίοις πιθανότητος καὶ συγκατατεθεῖσθαι αὐτῶν τῶι λόγωι. Den Anlaß zu den Fälschungen gab die Erwähnung der Juden in d. Αἰγυπτιακά; vgl. B 13.

17. Die auf den Abderiten bezogene Erwähnung des H. b. Agatharch. M. r. 64 meint den Milesier [FGrHist. 1 T 14 I 3]. Die Konjektur Müllers Ἑκαταῖος statt Ἀσκάνιος Diog. IX 61 ist nicht überzeugend.

---

1 ὡς δὲ κάτων B: verlesen aus ωσδεκα (τ über α) nach Diels (Autornamen werden in der alten Scholienliteratur oft abgekürzt) s. II 244, 30 Anm. 2 ⟨τ̄⟩ Wilamowitz. Vielleicht ist hinter λ̄ auch γ̄ ausgefallen 19 als besondere Schrift aufgefaßt von Elter *Gnomol. hist.* p. V p. 141, IX 254; Willrich *Iudaica* (1900) 80 u. a., zuletzt Jacoby (*Pauly-Wiss. R.-E.* VII 2767) 29 αὐτῶν Bouhéreau: αὐτῶι Hss.